καίουσι πῦρ, καὶ αἱ γυναῖκες αὐτῶν τρίβουσιν σταῖς τοῦ ποιῆσαι
χαυῶνας τῇ στρατιᾷ τοῦ οὐρανοῦ καὶ ἔσπεισαν σπονδὰς θεοῖς ἀλ-
λοτρίοις, ἵνα παροργίσωσίν με. [19]μὴ ἐμὲ αὐτοὶ παροργίζουσιν; λέγει 19
κύριος· οὐχὶ ἑαυτούς, ὅπως καταισχυνθῇ τὰ πρόσωπα αὐτῶν; [20]διὰ 20
τοῦτο τάδε λέγει κύριος Ἰδοὺ ὀργὴ καὶ θυμός μου χεῖται ἐπὶ τὸν
τόπον τοῦτον καὶ ἐπὶ τοὺς ἀνθρώπους καὶ ἐπὶ τὰ κτήνη καὶ ἐπὶ
πᾶν ξύλον τοῦ ἀγροῦ αὐτῶν καὶ ἐπὶ πάντα τὰ γενήματα τῆς γῆς,
καὶ καυθήσεται καὶ οὐ σβεσθήσεται. [21]τάδε λέγει κύριος Τὰ ὁλο- 21
καυτώματα ὑμῶν συναγάγετε μετὰ τῶν θυσιῶν ὑμῶν καὶ φάγετε
κρέα. [22]ὅτι οὐκ ἐλάλησα πρὸς τοὺς πατέρας ὑμῶν καὶ οὐκ ἐνετει- 22
λάμην αὐτοῖς ἐν ἡμέρᾳ, ᾗ ἀνήγαγον αὐτοὺς ἐκ γῆς Αἰγύπτου, περὶ
ὁλοκαυτωμάτων καὶ θυσίας· [23]ἀλλ᾽ ἢ τὸ ῥῆμα τοῦτο ἐνετειλάμην 23
αὐτοῖς λέγων Ἀκούσατε τῆς φωνῆς μου, καὶ ἔσομαι ὑμῖν εἰς θεόν,
καὶ ὑμεῖς ἔσεσθέ μοι εἰς λαόν· καὶ πορεύεσθε ἐν πάσαις ταῖς ὁδοῖς
μου, αἷς ἂν ἐντείλωμαι ὑμῖν, ὅπως ἂν εὖ ᾖ ὑμῖν. [24]καὶ οὐκ ἤκου- 24
σάν μου, καὶ οὐ προσέσχεν τὸ οὖς αὐτῶν, ἀλλ᾽ ἐπορεύθησαν ἐν
τοῖς ἐνθυμήμασιν τῆς καρδίας αὐτῶν τῆς κακῆς καὶ ἐγενήθησαν
εἰς τὰ ὀπίσθεν καὶ οὐκ εἰς τὰ ἔμπροσθεν. [25]ἀφ᾽ ἧς ἡμέρας ἐξήλ- 25
θοσαν οἱ πατέρες αὐτῶν ἐκ γῆς Αἰγύπτου καὶ ἕως τῆς ἡμέρας
ταύτης καὶ ἐξαπέστειλα πρὸς ὑμᾶς πάντας τοὺς δούλους μου τοὺς
προφήτας ἡμέρας καὶ ὄρθρου καὶ ἀπέστειλα, [26]καὶ οὐκ ἤκουσάν 26
μου, καὶ οὐ προσέσχεν τὸ οὖς αὐτῶν, καὶ ἐσκλήρυναν τὸν τρά-
χηλον αὐτῶν ὑπὲρ τοὺς πατέρας αὐτῶν. [27.28]καὶ ἐρεῖς αὐτοῖς τὸν 27 28
λόγον τοῦτον Τοῦτο τὸ ἔθνος, ὃ οὐκ ἤκουσεν τῆς φωνῆς κυρίου
οὐδὲ ἐδέξατο παιδείαν· ἐξέλιπεν ἡ πίστις ἐκ στόματος αὐτῶν.
[29]Κεῖραι τὴν κεφαλήν σου καὶ ἀπόρριπτε καὶ ἀνάλαβε ἐπὶ χειλέων 29
θρῆνον, ὅτι ἀπεδοκίμασεν κύριος καὶ ἀπώσατο τὴν γενεὰν τὴν ποι-
οῦσαν ταῦτα. [30]ὅτι ἐποίησαν οἱ υἱοὶ Ιουδα τὸ πονηρὸν ἐναντίον 30
ἐμοῦ, λέγει κύριος· ἔταξαν τὰ βδελύγματα αὐτῶν ἐν τῷ οἴκῳ, οὗ
ἐπικέκληται τὸ ὄνομά μου ἐπ᾽ αὐτόν, τοῦ μιᾶναι αὐτόν· [31]καὶ ᾠ- 31
κοδόμησαν τὸν βωμὸν τοῦ Ταφεθ, ὅς ἐστιν ἐν φάραγγι υἱοῦ Εν-
νομ, τοῦ κατακαίειν τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν
ἐν πυρί, ὃ οὐκ ἐνετειλάμην αὐτοῖς καὶ οὐ διενοήθην ἐν τῇ καρδίᾳ
μου. [32]διὰ τοῦτο ἰδοὺ ἡμέραι ἔρχονται, λέγει κύριος, καὶ οὐκ ἐροῦ- 32

18 σταις] στεας S^c L | χαυωνας: cf. 51 19 Thack. p. 36 | εσπεισαν] σπ⟨ε⟩ισαι A† || 19 παροργιουσιν S*† || 20 χειται] pr. εκ A† | παντα > BS† = 𝔐 | της γης] αυτης A† | καυθ.] pr. εκ S | ου > B*† | fin.] + και ουκ εσται ο σβεσων A: ex 4 4 21 12 Is. 1 31 || 22 οτι] και A† | θυσιας] -ιων A || 23 μου 1°] κυριου S† | υμιν 1°] υμων A† | πασαις > S† | υμιν paenult. ⌒ ult. S*† || 24 ηκουσαν] pr. εισ A: cf. 13 | προσεσχον A: cf. 26 | εν > B | ενθυμ.] επιθυμ. A† || 25 και ult. > A† || 26 ηκουσαν] pr. εισ A: cf. 13 | προσεσχον S: cf. 24 || 29 κειραι] -ρε BS*pau. | απεδοκ.] + αυτους S | κυρ. / και απωσ.] tr. A† || 30 τα πονηρα SA | ενωπιον A || 31 και ου] ουδε A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/673 UNIVERSITÄT LEIPZIG